6

# Χερρόνησος

499 π.Χ. 92. 4 Ολυμπ.

54. «Αθήνησι μὲν παρέλαβε τὴν ἀρχὴν Διοκλῆς» Διοδώρ. Σι-

66.... μετὰ δὲ ταῦτα Αλκιβιάδης μὲν ἐφ᾽ Ἑλλή- κελιώτ.

σποντον ἡ Χερρόνησον ἐξέπλευσε (οἱ Καλχηδό- Βιβλ. XIII

νες) βουλόμενος ἀθροῖσαι χρήματα..... Κεφ. 66

Αλκιβιάδης δὲ ἀθροίσας χρήματα πολλὰ Σελ. 470-1

αὐτῶ τῶν Θρᾳκῶν πλῆθος συστρατεῦσαι, παρέ-

λαβε δὲ ἡ τὴν Χερρόνησον σύμπασαν πανδημεί,

ἡ μετὰ πάσης τῆς δυνάμεως αναζεύξας συνῶ-

τον μὲν Σηλυμβρίαν διὰ προδοσίας ἔλαβεν...

401 π. Χ. 94. 4 Ολυμπ.

..«Αθήνησι μὲν ἦν ἄρχων Ξεναίνετος» Βιβλ. XIV

.. μόλις δ᾽ οὖν διεσώθησαν εἰς Χρυσόπολιν Κεφ. 31

τῆς Καλχηδονίας οἱ περιλειφθέντες ἀπὸ μυρίων ὀκτακι- Σελ. 45.

σχίλιοι τριακόσιοι. ἐκεῖθεν δὲ ῥᾳδίως ἤδη τὸ λοιπὸν τι-

νὲς μὲν διεσώθησαν εἰς τὰς πατρίδας οἱ δὲ λοιποὶ

περὶ τὴν Χερρόνησον ἀθροισθέντες ἐπόρθουν τὴν πα-

ρακειμένην Θρᾳκῶν χώραν. ἡ μὲν οὖν ἐπ᾽ Αρταξέρ-

ξην Κύρου στρατεία τοιοῦτον ἔσχε τὸ τέλος.

# Χερρόνησος.

399 π. Χ. 95-2 Ὀλυμπ.

Βιβ. XIV «Ἀθήνησι μὲν τὴν ἀρχὴν Ἀριστοκράτης παρέλαβεν»

Κεφ. 38 ... τούτων δὲ πραττομένων Θρᾷκες πολλοῖς πλήθεσιν

Σελ. 53 ἐνέβαλον εἰς τὴν Χερρόνησον, καὶ τὴν χώραν πᾶσαν

πορθήσαντες ἐπεχείρουν συνεχῶς ταῖς ἐν αὐτῇ πόλεσι.

οἱ δὲ Χερρονησῖται πιεζόμενοι τῷ πολέμῳ μετε-

πέμψαντο Δερκυλλίδαν τὸν Λακεδαιμόνιον ἐκ τῆς

Ἀσίας. οὗτος δὲ διαβὰς μετὰ τῆς δυνάμεως τοὺς μὲν

Θρᾷκας ἐξήλασεν ἐκ τῆς χώρας, τὴν δὲ Χερρόνησον

ἀπὸ θαλάττης ἀπετείχισε μέχρι θαλάττης. τοῦτο δὲ πράξας τοὺς μὲν Θρᾷκας ἐκώλυσε

τῆς εἰς τὸν μετὰ ταῦτα χρόνον καταδρομῆς, αὐ-

τὸς δὲ μεγάλαις δωρεαῖς τιμηθεὶς διεβίβασε τὸ

στρατόπεδον εἰς τὴν Ἀσίαν.

353 π. Χ. 106 4 Ὀλυμπ.

Βιβ. XVI ἐπὶ ἄρχοντος Ἀθήνησι Θουδήμου

Κεφ. 34 Χάρης δ' ὁ τῶν Ἀθηναίων στρατηγὸς πλεύσας εἰς

Σελ. 30 Ἑλλήσποντον, καὶ Σηστὸν πόλιν ἑλών, τοὺς μὲν ἡβῶντας ἀ-

πέσφαξε, τοὺς δ' ἄλλους ἐξηνδραποδίσατο. Κερσοβλέπτου δὲ

τοῦ Κότυος διὰ τὴν πρὸς Φίλιππον ἀλλοτριότητα καὶ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Χερρόνησος

Τὴν πρὸς Ἀθηναίους φιλίαν ἐγχειρίσαντος τοῖς Ἀθηναίοις τὰς ἐν Χερρονήσῳ πόλεις πλὴν Καρδίας, ἀπέχθεια ὁ...νος ὑπῆρχεν ἐν ταῖς πόλεσι.

309 π.Χ. 117. 4. Ολυμπ. — Βιβλ. XX

Ἐπ' ἄρχοντος Ἀθήνησι Δημητρίου τοῦ Φαληρέως — Κεφ. 29

Ἅμα δὲ τούτοις στρατοπεδεύσας Λυσίμαχος κτίζει ἐν — Σελ. 179.

Χερρονήσῳ πόλιν ἐπ' αὐτοῦ Λυσιμάχειαν καλέσας.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ